τῶν ἐνδόξων ἀνδρῶν βίȣς, εἰληφότι, ὡς ἔλεγε τὸ ἐνδόσιμον ἀπὸ τῶν ὑποτυπώσεων τȣ̃ περιωνύμȣ Βακώνȣ, ἐξ ὧν ȣ̓κ ἀπὸ σκοπȣ̃ ἔδοξε τὰ εἰς τȣ̀ς παρὰ Λαερτίῳ βίȣς Θαλȣ̃ ϗ Σόλωνος τῶν σοφῶν μεταγραψαμένȣς, ἔς γε τὸ παρὸν προθεῖναι τῇ τῶν φιλολόγων κρίσει, ἃ ȣ̔́τως εἶχεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ἀποσημειώσεις ἠθικαὶ καὶ πολιτικαὶ εἰς τὸν βίον τοῦ σοφοῦ Θαλοῦ.

Α΄. Οἱ περὶ τȣ̃ γένȣς ϗ τῆς πατρίδος τῶν ἐπὶ σοφίᾳ μέγα κλέος ἀραμένων, ἄλλῃ ϗ ἄλλῃ ἀφηγȣ́μενοι καταθολȣ̃σι τὸ περὶ τῶν ἱστορȣμένων ἀτρεκὲς, ϗ ῥαθυμίας ὑπόνοιαν διδόασιν, ἅτε μὴ διακριβωσάμενοι τὴν ἀλήθειαν, ἀλλ᾽ ἴσως κατ᾽ ἀρχὰς ἀγράφοις μόνον ἐσώζετο μνήμαις τὰ τοιαῦτα, μετέπειτα δὲ τῇ προόδῳ τȣ̃ χρόνȣ εἰς διαφόρȣς σχισθέντα φήμας, προσθήκαις τε ϗ ἀφαιρέσεσιν ἀμαυρωθέντα ὡς

Ε.Υ.Δ. της Σ.Π. ΙΩΑΝΝΙΝΑ 2005

ἔτυχε σαθρὰ ϗ νόθα ἕκαςος γραφῇ παραδέδωκε. παρατηρητέον ἄρα ὡς τὰ μὲν ἐν ᾧ διαπράττονται χρόνῳ ἢ πᾶσιν ὁμολογούμενα ἢ ϗ ὑπ᾽ ἐνίων ἀντιλεγόμενα. ταῖς δ᾽ ἑκατέρωθεν ἠκούσαις διαλέξεσι τελευταῖον ἐντὸς τῶν ὅρων τῆς ἀληθείας συγκλειόμενα, τῆς τε ἀληθείας ἐπιςατούσης, ϗ ὑπαγορευούσης τὰ ὄντα, ἀκηράτῳ γραφῇ παραδιδόμενα, ϗ κυπαριττίναις μνήμαις, ὡς εἶπεν ὁ Πλάτων, ἐγκολαπτόμενα, διαιωνίζουσι, μηδαμῶς παραχαράττοντος αὐτὰ τοῦ χρόνου. ἄγραφος δὲ μνήμη δεῖται μεγάλης ἀκριβείας, κρίσεως ἐμβριθοῦς, κοινῆς συναινέσεως ὅπως ἔχῃ τὸ πιςὸν, ϗ ἀραρὸς, ϗ βέβαιον.

Β΄. Οἱ εὐγενέςατοι Φοινίκων ἦσαν πρόγονοι τῷ Θαλῇ, διὸ ὁ τῆς εὐγενείας χαρακτὴρ διὰ παντὸς διαλάμπει αὐτῷ τοῦ βίου. γένους γὰρ λαμπρότης παιδείᾳ ϗ σοφίᾳ καταγλαϊζομένη μέγας ἐπὶ γῆς θησαυρός. ἐπανθεῖ δὲ τῇ εὐγενείᾳ ἦθος ῥυπαρίας ἁπάσης καθαρὸν, φιλοτιμίας δὲ μεςὸν, ὑφ᾽ ἧς ἡ ψυχὴ κεντουμένη τοῦ μετὰ μείονος δόξης ἐν τῇ γει-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ταμένη βίου, τὴν ἐν ἀλλοδαπῇ εὔφημον αἱρεῖται διαγωγὴν, ἀπὸ τῆς στενῆς πατρίδος εἰς τὴν μείζονα ὅλως ἑαυτὴν μεταφέρουσα, κόσμου παντὸς κηδομένη, ἀτρίτῳ φιλοπονίᾳ διά τε γῆς καὶ θαλάσσης τὰ συνοίσοντα τῷ βίῳ ἀνερευνῶσα, καὶ μονονουχὶ δι' ἀέρος εἰς οὐρανὸν ἱπταμένη, ἵνα κἀκεῖθεν ἐρανίσηται, καὶ εἰς γῆν καταγάγῃ ὁπόσα ἱκανὰ εἰς ἀλήθειαν χειραγωγῆσαι ἀμαθείας ἀχλὺν περικεχυμένον τὸν νοῦν.

Γ'. Ἐλθὼν σὺν Νειλέῳ ἐκπεσόντι Φοινίκης ὁ Θαλῆς ἐπολιτογραφήθη ἐν Μιλήτῳ. τὸ γὰρ πολιτογραφεῖν τοὺς ἐπὶ γένει, καὶ πολιτικῇ φρονήσει, καὶ σοφίᾳ λαμπροὺς οὐκ ἀπείρητο πάλαι ταῖς εὐνομουμέναις πολιτείαις, μηδαμῶς δήπουθεν ἀπαναινομέναις περὶ μεγάλων πραγμάτων προκειμένης σκέψεως ταῖς τηλικούτων ἀνδρῶν χρῆσθαι βουλαῖς, ἀλλ' οὐδ' ἐν τῇ Ῥωμαίων πολιτείᾳ, ἥγε τύπος ἐστὶ τῆς μετέπειτα, πολιτικῆς φρονήσεως, οὐκ ἀπεκέκλειστο τοῖς ἀξίοις λόγου ἡ εἰς τὰς ἀνωτάτω ἀρχὰς πάροδος κατὰ βαθμὸν ἰοῦσι, καὶ πᾶσαν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

ἀκολασίαν ϗ παροινίαν ἐν διαχειρήσει πολιτικῶν πραγμάτων εὐλαβȣμένοις. τȣτ᾽ αὐτὸ πάνυ νȣνεχῶς τὰ νῦν ἐνεργȣ́μενον ὁρῶμεν ἐν τῇ Ἀριςοκρατίᾳ τῶν Οὐενετῶν, νεαρᾶς ϗ νεανικῆς εὐγενείας κράσει ἀνασκευαζομένων τῶν ἤδη πεπονηκότων, ϗ ὑποῤῥεόντων τῆς πολιτείας μορίων. Οἱ γὰρ ἀμαυρωθέντες τῶν παλαιῶν ϗ εὐαγῶν εἰκόνων τύποι, χρυσῷ ϗ λίθοις πολιτίμοις κυκλόθεν κεκαλλωπισμένοι ἀσφαλέςερον φυλάττονται, ϗ δαψιλέςερον γεραίρονται, εὐανθεῖ τε λειμῶνι κόσμον φέρει τὰ νεαρᾷ φιλοπονίᾳ μεταφυτευόμενα ϗ ἐγκεντριζόμενα δένδρα. Ἔνιοι δὲ τῶν περὶ πολιτείας διειληφότων ἀπείργȣσιν ἄρδην τȣ̀ς μὴ ἰθαγενεῖς πολιτείας ϗ πολιτικῆς διοικήσεως, ςάσεις ἐντεῦθεν ἀναῤῥαγῆναι πολλὰς διϊσχυριζόμεναι. τȣτο δὲ συμβαίνειν ȣ̓δεὶς ἂν ἔξαρνος γένοιτο· συμβαίνει μέντοι γε ὁπηνίκα τῶν προγονικῷ δικαίῳ καλῶς διοικȣ́ντων ἀπωσθέντων, ἐνίτῳ ἀπὸ ἀλλοδαπῆς ἥκοντι καταλιμπάνοιτο ἅπασα ἡ τῆς πολιτείας διοίκησις. τȣτο γὰρ ἀφόρητον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

Δ΄. Ἔνιαι τῶν βίβλων πολλοὺς ἑαυταῖς ἐπιγράφονται πατέρας. ἐκ τούτου δ' ἔστιν εἰκάσαι, ὅτι ἐν παντοίας παιδείας εἴδει, κατὰ μικρὸν ἡ ἐπίδοσις προκεχώρηκε τῇ ἀλληλοδιαδόχῳ μιμήσει κρατυνομένη, καὶ ταύτῃ δηλονότι θριαμβευομένης τῆς ἐμπεφυκείας ἀσθενείας τῷ ἀνθρωπίνῳ νοΐ.

Ε΄. Ἔγνω Θεὸν ἀγέννητον ὁ Θαλῆς. ἡ γὰρ περὶ τὸ θεῖον εὐσέβεια ἐπισημότατος εὐγενείας χαρακτήρ· ὁ δὲ παλαιότητι προγόνων ἐναμβρυνόμενος, πῶς γε ἀνάσχοιτο ἂν τυφλώττειν, ἀγνοῶν τὸν πατέρα τῶν ὅλων Θεόν; Ἐγίνωσκε δὲ χωλὴν εἶναι σώματος εὐγένειαν ἀψύχοις εἰκόσιν ἐρειδομένην, εἰμή γε ἐποχοῖτο ἀθάνατον ψυχῇ ἀνορθούσῃ καὶ ζωογονούσῃ τὸ ἄλλως ἐφήμερον καὶ νεκρὸν σῶμα.

Ϛ΄. Μετὰ δὲ τὰ πολιτικὰ τῆς φυσικῆς ἥψατο θεωρίας, ἢ διὰ τὸ πειραθῆναι κινδύνων ἐν τῇ πατρίδι πολιτευόμενος. τὸ μὲν γὰρ ἀκμάζον τῆς ἡλικίας ἀπλέτῳ δόξης ἔρωτι φυσιούμενον ἐμπλέκεσθαι πολιτικοῖς εἴωθε πράγμασιν· ὑφάλῳ δὲ προσαράξαν πέτρᾳ, καὶ ὁ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

λίγε. δεῖν ναυαγήσαν, σῶςρα ἀνατιθέναι φιλεῖ Θεῷ τὴν ἐς τἐπιὸν θεωρίαν θείων τε ϗ ἀνθρωπίνων ἐκεῖθεν, ὥσπερ ἐξ ὑπερδεξίε χωρίε, κατοπτεῦον τὲς ἐν τῷ πολυσάλῳ τῦ βίε πελάγει ἐλεεινῶς κυμαινομένες. κατοπτεῦον δὲ μετ᾽ οἴκτε, μηδ᾽ ἐπεμβαῖνον τῷ ὁμοφύλῳ δυςυχῦντι, ἀλλ᾽ ὅσον ἐφικτὸν ἐπικεφίζον τὸ ἄχθος, ἢ ἐν Μιλήτῳ εἰς ἑαυτὸν ὁ Θαλῆς συνειλέμενος μονήρης γέγονε ϗ ἰδιαςὴς φυσικῇ θεωρίᾳ σχολάζων, ἵνα πάντα φθόνον ϗ πᾶσαν ὑπόνοιαν ἀποφύγῃ ἐν ἀλλοδαπῇ διατρίβων. Μιμητέος ἄρα τοῖς ἐπιξενεμένοις, ὃν ὁπόσοι τὸν φιλόσοφον βίον ἐπανῃρημένοι καθ᾽ ἑαυτὲς βεβιώκασι, τιμῆς ἅμα ϗ φιλοφροσύνης ἠξίωνται, τῆς ἰδέας τῦ βίε ἐδεμίαν συγχωρέσης ὑπόνοιαν. ἐν γὰρ ἀλλοτρίᾳ οἰκίᾳ ἡ πολυπραγμοσύνη μισεῖται.

Ζ΄. Ὀρθῶς φησιν ὁ Λαέρτιος ϗ ἐν τοῖς πολιτικοῖς τὸν Θαλῆ ἄριςα βεβελεῦσθαι, Κροίσε συμμαχίαν αἰτῦντος κωλύσαντα. ἄλλος γὰρ ἐπεγράψατο ἂν τὴν πρόῤῥησιν ταῖς περὶ ἀςρολογίαν φιλοπονίαις αὐτῦ, τὸ ἄνετον ὅμως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ. ΙΙ ΙΩΑΝΝΙΝΑ 2005

τῆς ἀνθρωπίνης προαιρέσεως μηδαμῶς ἠρτῆσθαι τῆς τῶν ἀςέρων φορᾶς, ὑγιαινέσῃ διανοίᾳ μᾶλλον ἀρέσκει.

Η΄. Τὸ σοφὸν κρυψίνεν ἐςὶ πρὸς τὲς ἀκαίρῳ πολυπραγμοσύνῃ παρενοχλεντας. διὸ ὁ Θαλῆς φιλοτεκνίας ὀνόματι σεμνύνει τὴν ἀτεκνίαν. τῇ μὲν γὰρ γεννησάσῃ πατρίδι ὡς ἔρανος ὀφείλεται ἡ τῶν τέκνων ἀντίδοσις· ἐκπεσόντι δὲ πατρίδος τὸ νοὸς ἀθανάτοις γοναῖς τὴν κοινὴν πλετίσαι πατρίδα, μεῖζον περιάπτει κλέος. δυχερὲς δ᾽ ἐν ἀλλοδαπῇ διατρίβοντα ὁμιλῆσαι γάμῳ, ϗ ἐνέχυρα δεναι τῇ ἀςάτῳ τύχῃ· τὸ γὰρ εὔζωνον ἴσως ἀσφαλέςερον, ὀλιγαρκέςερον, ἐνίοτε δὲ ϗ γεραρώτερον, μὴ ὑποκείμενον ταῖς λειτεργίαις, ἃς ἐξ ἀνάγκης οἱ γεγαμηκότες τελεσι ταῖς πόλεσι.

Θ΄. Τὸ πρὸς τὴν μητέρα εἰς γάμον ὀτρύνεσαν ἔπω καιρὸς, ϗ ἐδέπω καιρὸς τε Θάλητος ἔμενεν ἔτεινεν εἰς ἀπάτην, ἀλλ᾽ εἰ ϗ ἑαυτὸν ἐπὶ αἱρέσει βίε τῇ γνώμῃ ταλαντευόμενον διεκήλει προσηνεςέραις ἀναβολαῖς ἐλπίσιν ἀνακεκρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2005

μέναις τὴν εἰς τὰ διαῤῥήδην κωλυόμενα ἀκρατῶς διατεινομένην φύσιν κατὰ μικρὸν τιθασσεύων, ἢ ταῖς ἐκ τῦ ἀπεῤῥωγότος ἀνανεύσεσι τὸ γυναικεῖον γένος εἰδὼς μᾶλλον διερεθίζεσθαι, τήν τε μητέρα δυσωπῦμενος, ϗ ἐκεχειρίαν ἑαυτῷ μηχανώμενος, εὐφυῶς ἐταμιεύετο τὸν καιρόν.

Ι. Τῆς ἀδελφῆς τὸν υἱὸν ἔθετο Θαλῆς. οἱ γὰρ παντάπασιν ἔρημοι φιλῦντος ϗ προσλιπαρῦντος ἔκκεινται μυρίαις ἐπιβυλαῖς. Φιλία δὲ ϗ συγγένεια καλὸς γηροτρόφος, τὸ δ' ἀναμετρεῖν τῦ εὐεργετῦντος τὺς χρόνυς, μόναις ταῖς μοχθηροτάταις ἐπιφύεται ψυχαῖς.

ΙΑ'. Ἐμισθώσατο τὰ ἐλαιυργεῖα Θαλῆς, ϗ πάμπλειςα ἐνεῖλε χρήματα. ἡ γὰρ ἀγελαῖος ϗ καπηλικὴ φρόνησις πολλάκις ἐπιμέμφεται τῇ μεγαλοψύχῳ φρονήσει, ἅτε μηδαμῶς ἐπιςρεφομένῃ ῥέοντος πλύτυ, ἀλλὰ νεανικαῖς σπυδαῖς. ὅλως προσετηκεῖα τῷ κοινῇ συμφέροντι. Δεῖ δὴ ἐνίοτε τὸν σοφὸν ἀνακαλύπτειν τὴν τῶν πολλῶν ἄνοιαν, ϗ ἐκφαυλίζειν τὸ μικρολόγον ϗ φιλοκερδὲς διὰ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... 
Ε.Υ.Δ της Κ.τ. Π ΙΩΑΝΝΙΝΑ 2005

ὁμοίας ὁδοῦ χωροῦντα, ϗ ἀδελφικαῖς τέχναις καταβάλλοντα κομπάζον, ϗ βρενθυόμενον τὸ ἀντίπαλον. ἃ γὰρ μόλις ῥυπαροῖς κέρδεσι διὰ μακροῦ χρόνου κτᾶται τὸ ἀγοραῖον, ἐκ τοῦ παραυτίκα παραγίνεται βουληθέντι μόνον τῷ ἰσχυρῶς φρονοῦντι.

ΙΒ΄. Συνεβίω δὲ ϗ Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ. ἔδωκε γὰρ ἂν ὑπόνοιαν ὁ σοφὸς Θαλῆς ὀλιγωρεῖν αὐτοῦ, εἴγε ἀπηνήνατο τὴν συνουσίαν. ἡδὺ δὲ ϗ ἄλλως τῷ ἀπὸ λαμπρῶν προγόνων ἡ μετὰ βασιλέως ὁμιλία. ϗ τὸ μὲν βεβαίως σοφὸν ὑπὸ τῆς πρὸς τὸ χεῖρον ὁμιλίας ἥκιστα ῥυπαίνεται. μεταδιδὸν δὲ κἀκείνῳ μοῖραν ἀγαθοῦ, εὐεργετεῖ ἅπαν τὸ πολίτευμα. Προσέτι δ' ἀσφαλεστέρα ἡ τοῦ ἄρχοντος φιλία, καίπερ ἐνίοτε μεταβαλλομένη τῆς τοῦ διηνεκῶς ἀστατοῦντος, ϗ κραδαιμένου πλήθους εὐνοίας, κινδύνου τε μεστὸν τὸ ἐν τυραννουμένῃ πολιτείᾳ προσκεῖσθαι ϗ ἐπερείδεσθαι τῷ δήμῳ.

ΙΓ΄. Ταπεινοφροσύνη λαμπρὸν εὐγενείας χρῶμα. ψυχὴ γὰρ ῥυπαρὰ μηδαμῶς ἑαυτῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005

τεθαῤῥηκυῖα πανταχόθεν ἐρανίζεται ἀλαζονείας προφάσεις· τὸ δ᾽ εὐγενὲς καὶ σοφὸν γεγηθὸς τοῖς ἔνδον ἀγαθοῖς, μεγαλοψυχίας περιουσίᾳ, καὶ τὸν ἐπιφυόμενον φθόνον ἀποκλειούσῃ περινοίᾳ, τὸ ὑπέρογκον τῶν ὀνομάτων πάσῃ παραιτεῖται μηχανῇ. διὰ ταῦτ᾽ ἄρα ὁ Θαλῆς εἰς ἕτερον παρεπέμπετο τὸν τρίποδα.

ΙΔ΄. Γενναίας δὲ, καὶ τῷ ὄντι φιλοσόφου ψυχῆς τὸ μὴ παραιτεῖσθαι τὴν πρὸς τὸ ὁμόφυλον ὁμιλίαν οἰκουροῦσαν, καὶ ἐν παραβύστῳ που κειμένην, κἂν γήρᾳ κάμνῃ, κἂν νόσῳ παλαίῃ. τὸν δὲ Ῥωμαίων αὐτοκράτορα μιμούμενον ἑστηκότα δεῖ ἀπολύεσθαι τοῦ ζῆν τὸν σοφὸν, ἐφ᾽ ὅσον βιῴη μὴ περιϊόντα ἀσύμβολον ἐν τῷ βίῳ. οὐ μωμητέος ἄρα Θαλῆς εἴγ᾽ ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμνικὸν, ὑπό τε καύματος, καὶ δίψους, καὶ ἀσθενείας ἤδη γηραιός.

## Εἰς τὸν βίον τοῦ Σόλωνος.

Α΄. Ὁ Σόλων πρῶτος τὴν Σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις συγχωρήσας τὰ ὀφει-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

λόμενα ἑπτὰ τάλαντα· αἱ γὰρ γενναῖαι καὶ μεγαλόφρονες ψυχαὶ ὀλιγωροῦσιν ἰδίου κέρδους κἂν ἄξιον εἴη λόγου ἐπὶ ὠφελείᾳ τοῦ κοινοῦ, καὶ τὸ μὲν χαμερπὲς καὶ σμικρολόγον μικρόν τι κρεουργῆσαν ἀποσφάττει τὸ κοινῇ λυσιτελοῦν, ἡ δὲ μεγαλοψυχία, πολλῶν καταφρονεῖ, ἵνα μέγα τι καὶ ἐξαίσιον ἑαυτῇ περιποιήσηται. πολὺ δὲ κλέος ἀπήντηκε τῷ σοφῷ Σόλωνι τῇ χρεωκοπίᾳ ἐκμειλίξαντι καὶ κωλήσαντι τὸν Ἀθηναίων δῆμον, τῇ τε φθασάσῃ εὐπορίᾳ εἰς ὑποδοχὴν τῶν νόμων ἐξομαλίσαντι, ὥστε καὶ πεπηγότα νόμον λῦσαι Σόλωνι χαριζομένους, καὶ ἐπαμῦναι Σαλαμῖνι τῇ Σόλωνος πατρίδι. Δεῖ δὴ τὸν μεγαλονοίᾳ καὶ μεγαλουργίᾳ λαμπρῶν ἔργων ὠδίνοντα κατόρθωσιν, εὐφυῶς αὐτῷ προπαρασκευάσαντα τὴν ὁδὸν, οὕτως εἰς τὸ πρόσω χωρεῖν, καὶ νεανικῶς ἅπτεσθαι τοῦ ἔργου εὐεργεσίαις καὶ δαψιλεστάταις φιλοφροσύναις παραιρούμενον πᾶσαν ὑπόνοιαν. Ἐπειδὴ δὲ μηδὲν ἔργον ἔρημον ἀντιπάλου, τῷ μὲν δεισιδαιμόνως ὑφορωμένῳ, καὶ εὐλαβουμένῳ τὰς ἐπιφυομένας, καὶ οἱονεὶ σκιὰς ἑπομένας ἔργῳ πα-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

ῥατόδας· ἑπομένας αἰτίας μηδὲ πολιτευτέον, ἀνδρὶ δὲ γενναίῳ νεανικῶς ἐγχειρητέον ταῖς ἅπαξ δόξασιν. Οὔκουν ταράττεται δὴ Σόλων τῇ παρὰ τῶν πλουσίων ἀπεχθείᾳ, οὓς ᾔδει τῇ τε Σεισαχθείᾳ ἀκμὴν ἀποκναιομένους, καὶ τῷ ἀπὸ τῶν νόμων χαλινῷ δυσφοροῦντας. ἐπιδίδωσι τοίνυν ἑαυτὸν τῷ δήμῳ, καὶ ὅλως ἀναρτήσας αὐτὸν εὐποιΐαις τε καὶ νόμοις τὸ ἀραρὸς τῶν ψυχῶν ἀναδεῖται κράτος, οὗ μηδὲν ἡδύτερον· Ὀρθῶς γὰρ ὑπὸ τοιαύτης φησὶν ὁ σοφώτατος Βακῶνος ἡδύτητος, κεκηλημένους, καὶ καταγεγοητευμένους τοὺς αἱρεσιάρχας, μήτ' ἀπειλαῖς, μήτ' ἄθλοις ἐνδιδόναι ἐπὶ παραιτήσει τῆς δυσσεβοῦς δόξης, δι' ἧς τοσούτων καὶ τηλικούτων ἀνδρῶν ἰδιωτῶν, ἀρχόντων, βασιλέων αὐτῶν τὰς συνειδήσεις ἐπισεμόμενοι, ἄγοντες καὶ φέροντες, διετέλεσαν οἱ παλαμναῖοι μυρία ἀνθρώπων φῦλα.

Β'. Μαίνεσθαι δὲ Σόλων προσεποιεῖτο, τὰ μὲν τῇ πατρίδι σωτηρίαν πραγματευόμενος, τὰ δὲ ἀσφάλειαν ἑαυτῷ ποριζόμενος· ἡ γὰρ φρόνησις κυμαινομένων τῶν πραγμάτων,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Β.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2005

αἰκυρεῖ, νοσηλεύεται, παρακαίει, πᾶσαν ὑποδύεται μορφὴν, ὅπως δὴ ὁποιωνοῦν μέτων ἐπιτύχῃ γαλήνης καὶ ἠρεμίας, τοὺς ἐπικειμένους ἀποσεισαμένη κινδύνους. προαισθόμενος δῆτα Πεισιστράτου ἐπιβάλλοντος ὅσον ἔπω τῇ Ἀθηναίων πολιτείᾳ, λόγοις τε καὶ ἔργοις καὶ προσποιήσεσι κατασφαλίζεται ἑαυτὸν πρὸς πᾶσαν ὑπόνοιαν.

Γ΄. Προελθὼν εἰς μέσον τῶν μὲν, σοφώτερος, τῶν δ᾽ ἀνδρειότερός εἰμι, φησιν. ἔξεστιν ἄρα τῷ σοφῷ πολιτευομένῳ, ἐπειδὰν ὁ καιρὸς οὕτω πείθῃ ἀνεπιμώμως ἑαυτὸν ἐκπαίσαι. τὰ γὰρ ἰδιώταις ἄκρατον ἀρετὴν ἀσκοῦσι μὴ ξυγχωρούμενα, ἐν τοῖς πολιτεύμασιν ἐνίοτε οὐ μόνον ἔξω παντὸς ὀνείδους, ἀλλὰ πολλάκις ἀποβαίνουσιν ἀρεταὶ ἐς τὸ κοινῇ ξυνοίσον διατεινόμεναι.

Δ΄. Κἀκεῖνο δὲ παρατηρητέον, ὡς οἱ ἐν ὁποιασοῦν πολιτείᾳ μεγαλονοίᾳ καὶ μεγαλοψυχίᾳ ἐξαισίων ἔργων αὐτουργοὶ γενόμενοι, κἂν αὐτοὶ σωφρονῶσιν εἰς ἑαυτοὺς συνελλόμενοι, καὶ μετριωτέρᾳ τύχῃ μετὰ κλέους ἀσφαλοῦς ἠγαπηκότες,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2005